σματα κίβδηλα λέγεται διὰ τὸ ὑπὸ Χίων δεδηλῶσθαι. ἄλλως. κίβδηλα ἐλέγετο νομίσματα τὰ ὑπὸ Χίων δεδηλημένα, ἤτοι βεβλαμμένα. κατὰ τροπὴν τοῦ χ εἰς κ. Ἀθηναῖοι γὰρ καὶ Χῖοι ἀλλήλους ἐμάχοντο. διὸ τὰ Χίων νομίσματα μετὰ τοῦ χ στοιχείου Ἀθηναῖοι ἐγχαράξαντες ἀπεστρέφοντο. καὶ ἐκάλουν αὐτὰ χίβδηλα, ὡς διὰ τοῦ χ στοιχείου δῆλα ὄντα. παραλαβοῦσα δὲ ἡ συνήθεια τὴν φωνὴν τὸ δεδολωμένον νόμισμα κίβδηλον ὠνόμασεν, ἐναλλάξασα τὰ στοιχεῖα πρὸς τὸ εὐγλωττότερον. μήκων δὲ ὄνομα φυτοῦ ἢ σπέρματος οὐκ ἄδηλον. ἔστι δὲ καὶ μέρος τι τῶν ἐντοσθίων τοῦ πολύποδος τοῦ ἰχθύος, ὃς κεῖται ἐπάνω τῆς κοιλίας οἱονεὶ κύστις ἐν ἑαυτῇ ἔχουσα τὸν θολόν. ὥς φησιν Αἰλιανὸς ἐν τοῖς περὶ ζώων. Σισύμβρια.] σισύμβρια φύλλα οἷς ἐστεφανοῦντο οἱ νυμφίοι. Νυμφίων βίον.] ἢ ὅτι οἱ γαμοῦντες στεφανοῦνται. ἢ ὅτι ἡδυπαθοῦσι πρὸς τὰς τῶν γάμων ἡμέρας. Φεῦ φεῦ.] ἔστι μὲν σχετλιαστικόν. νῦν δὲ θαυμαστικόν. Περιπέτε-

A σθε.] ἀντὶ τοῦ ἕνα τόπον ἔχετε. Κεχηνότες.] οἱ μωροί. τὸ γὰρ κεχηνέναι ἐπὶ τῶν ἀνοήτων λαμβάνεται. Αὐτίκα] οἷον εὐθέως. ἅμα τῷ πυθέσθαι, ὅτι τίς ἄστατος, εὐθέως ἄτιμον νομίζουσιν. Τοὺς πετομένους τὴν ἔρῃ] ἀντὶ τοῦ περὶ τῶν πετομένων. ἔστι δὲ Ὁμηρικὸν τὸ σχῆμα. εἰρόμεναι παῖδάς τε κασιγνήτους τε. ὁ δὲ Τελέας, σκωπτικός. λέγει οὖν ὅτι ἐάν τις ἐρωτήσῃ περὶ τῶν πετομένων τίς ἐστιν ὄρνις, ὁ Τελέας ἐρεῖ ταῦτα. οὗτος δὲ διαβάλλεται ὡς μεταβλητὸς τοὺς τρόπους. πρὸς γὰρ τῇ κιναιδίᾳ καὶ δειλίᾳ καὶ ὀψοφαγίᾳ καὶ νοσφισμῷ καὶ πονηρίᾳ, ὀνειδίζουσι τὸν Τελέαν. B Τίς ὄρνις οὗτος ὁ Τελέας.] Πλάτων σύρφακι ἐπὶ τοῦ Τελέου. νοεῖ μὲν ἕτερα. ἕτερα δὲ τῇ γλώττῃ λέγει. κωμῳδεῖται δὲ εἰς πολλά. Σύμμαχος δὲ πρὸς οὐδέν, ἢ ὅτι Τελέας ὄρνεον. ἐπεὶ καὶ ἐν τοῖς ἑξῆς ὄρνεόν τι καταλέγει. τελέᾳ καὶ τετράδι καὶ ταῶνι καὶ βασιλίσκῳ. Ἀτέκμαρτος] οἷον σημεῖον διὰ τῆς πτήσεως οὐκ ἐμφαίνων. μωμᾷ δὲ ψέγεις. Μίαν πόλιν] καλεῖ πόλιν νῦν τὸ περιέχον ἅπαν.

Πει. Ἀληθὲς ὦ σκαιότατον εἰρηκὼς ἔπος.
Βλέψον κάτω. Επ. καὶ δὴ βλέπω. Πει. βλέπε νῦν ἄνω.
Επ. Βλέπω. Πει. περίαγε τὸν τράχηλον. Επ. νὴ Δία
Ἀπολαύσομαί γ' εἰ διαστραφήσομαι.
Πει. Εἶδές τι; Επ. τὰς νεφέλας γε καὶ τὸν οὐρανόν.
Πει. Οὐχ οὗτος οὖν δήπου 'στὶν ὀρνίθων πόλος;
Επ. Πόλος; Πει. τίνα τρόπον. ὥσπερ εἴποι τις. τόπος.
Ὅτι δὲ πολεῖται τοῦτο καὶ διέρχεται
Ἅπαντα, διὰ τοῦτό γε καλεῖται νῦν πόλος.
Ἢν δ' οἰκίσητε τοῦτο καὶ φράξηθ' ἅπαξ,
Ἐκ τοῦ πόλου τούτου κεκλήσεται πόλις.
Ὥστ' ἄρξετ' ἀνθρώπων μὲν ὥσπερ παρνόπων.
Τοὺς δ' αὖ θεοὺς ἀπολεῖτε λιμῷ μηλίῳ.
Επ. Πῶς; Πει. ἐν μέσῳ δήπουθεν ἀήρ ἐστι γῆς.
Εἶθ' ὥσπερ ἡμεῖς, ἢν ἰέναι βουλώμεθα
Πυθῶδε, Βοιωτοὺς δίοδον αἰτούμεθα,
Οὕτως ὅταν θύσωσιν ἄνθρωποι θεοῖς
Ἢν μὴ φόρον φέρωσιν ὑμῖν οἱ θεοί,
Διὰ τῆς πόλεως ἀλλοτρίας καὶ τοῦ χάους
Τῶν μηρίων τὴν κνῖσαν οὐ διαφρήσετε.
Επ. Ἰοὺ ἰού.

PI. *Verum ô ineruditißimum dicens verbum,*
C *Vide deorsum.* EP. *Et iam video. PI. vide nunc superius.*
*EP. Video. PI. Circumage ceruicem. EP. per Iouem*
*Accipiam, quid si vertar?*
PI. *Vidisti aliquid? EP Nebulas & cœlum.*
PI. *Non hic igitur est auium polus?*
*EP.* Polus? PI. *Quomodo tanquam diceret aliquis locus.*
D *Quod autem vertitur hoc, & discurrit*
*Omnia, propter hoc vocatur nunc polus.*
*Si autem habitabitis hoc & sepietis semel,*
*Ex polo hoc vocabitur ciuitas.*
*Quare dominabimini hominibus quidem tanquam parnopibus.*
*Hoc autem rursus deos perdes fame melia.*
EP. *Quomodo?* PI. *in medio iam aer est terra.*
*Postea quemadmodum nos, si ire volumus*
E *Pythonem, Bœotos transitum petimus.*
*Sic quando sacrificabunt homines deis,*
*Si non tributum ferant vobis, hi*
*Propter ciuitatem alienam & chaos,*
*Crurium nidorem non transferetis.*
*EP. Heu, heu.*

Σχόλια. Βλέπε νῦν ἄνω.] ὡς καὶ τὰ ἐν κύκλῳ ἰδεῖν. διαστραφήσομαι δέ, τὸν τράχηλον κλάσω. Ὀρνίθων πόλος.] τὸ μέν τι παραφράζει τῶν προειρημένων τῶν ὀρνίθων, ὅτι ἔστι τόπος τις αὐτῶν ἐν ᾧ διατρίβουσι. τὸ δέ, καὶ πρὸς τὸν σχηματισμὸν τοῦ ὀνόματος παίζει. καὶ τόπος καὶ πόλος. ἑξῆς ἐτυμολογεῖ αὐτὸν ἀπὸ τοῦ πολεῖσθαι. πόλον γὰρ οἱ παλαιοὶ οὐχ ὡς οἱ νεώτεροι σημεῖόν τι καὶ πέρας ἄξονος, ἀλλὰ τὸ περιέχον ἅπαν. Εὐριπίδης Πειρίθῳ. καὶ τὸν Ἀτλάντιον φρουρῶν πόλον, ὡς αὐτοῦ τε περιπολουμένου, καὶ δι' αὐτοῦ πάντων ἐρχομένων. Ὅτι δὲ πολεῖται] ὑφετυμολογεῖν βούλεται τὴν πόλιν. Ἢν δ' οἰκίσητε τοῦτο] οἷον εἰ τὸ μέσον τοῦ οὐρανοῦ καὶ τῆς γῆς ἐὰν περιτειχίσητε. Κεκλήσεται πόλις.] ἔπαιξεν ἐκ τοῦ πόλου σχηματίσας τὴν πόλιν. Ὥσπερ παρνόπων.] εὐχείρωτοι γὰρ οἱ πάρνοπες. ἔστι δὲ εἶδος ἀκρίδων. οἱ δὲ κωνώπων. Τοὺς δ' αὖ θεούς.] ἐν τοῖς Πελοποννησιακοῖς κατὰ πάντων Μηλιέων

F Νικίαν πεμψάντες Ἀθηναῖοι, ἐπὶ τοσοῦτον ἐπολιόρκησαν αὐτούς, ὥστε λιμῷ διαφθεῖραι. τῷ δὲ πρώτῳ ἔτει Νικίας Μῆλον παρεστήσατο, οὐ μόνον μηχανῶν προσαγωγῇ, ἀλλὰ καὶ λιμῷ. διὰ τὸ ἀποστῆναι αὐτῶν, πρώην ὑποτελῆ οὖσαν. Λιμῷ μηλίῳ] ἀντὶ τοῦ μεγίστῳ. Μῆλος δέ ἐστι πόλις Θεσσαλίας. καὶ οἱ Μήλιοι πολιορκούμενοι ὑπὸ Ἀθηναίων λιμῷ ἐπιέσθησαν καὶ παραδεδώκασιν ἑαυτούς. ὡς Θουκυδίδης ἐν τῇ πέμπτῃ. Βοιωτοὺς δίοδον αἰτούμεθα.] πολέμιοι ἦσαν οἱ Βοιωτοὶ τῶν G Ἀθηναίων, συμβαλόντες Λακεδαιμονίοις διὰ Δεκέλειαν μαχομένοις. ὅτε οὖν θέλουσιν Ἀθηναῖοι εἰς Πυθὼ ἀπελθεῖν, δηλοῦσι Βοιωτοῖς παρακαλοῦντες ὑποχωρῆσαι τῆς ὁδοῦ. ἄλλως. τινές φασι μεταξὺ Πυθοῦς καὶ Ἀττικῆς εἶναι τὴν Βοιωτίαν. καὶ οὐχ οἷόν τε εἶναι ἀπελθεῖν Ἀθηναίους εἰς Πυθώ, εἰ μὴ παρέλθωσι Βοιωτίαν. παίζει δέ, τότε γὰρ μόνον δίοδον ζητοῦσιν, ὅταν στράτευμα